# 29-01-2022 † ΟΡΘΡΟΣ ΣΑΒΒΑΤΟΥ ΜΕ Θ.Κ. ΗΧΟΣ ΠΛ. Β΄

## † Ἡ Ἀνακομιδὴ τῶν Λειψάνων τοῦ Ἁγίου Ἱερομάρτυρος Ἰγνατίου τοῦ Θεοφόρου.

Ἦχος Δι

Θε ος Κυ ρι ος και ε πε φα νεν η μιν ευ λο γη με νος ο ερ χο με νος εν ο νο μα τι Κυ ρι ου

**Στίχος 1.** Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. (Τὸ ὡς ἄνω)

**Στίχος 2.** Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Θε ος Κυ ρι ος και ε πε φα νεν η μιν ευ λο γη με νος ο ερ χο με νος εν ο νο μα τι Κυ ρι ου

**Στίχος 3.** Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. (Τὸ ὡς ἄνω)

# 29-01-2022 ΟΡΘΡΟΣ ΣΑΒΒΑΤΟΥ ΜΕ Θ.Κ. ΗΧΟΣ ΠΛ. Β΄

## Ἀπολυτίκιον τοῦ Ἁγίου. Ἦχος δ΄.

Ἦχος Δι

Και τρο πων με το χος και θρο νων δι α δο
χος των Α πο στο λων γε νο με νος την
πρα ξιν ευ ρες θε ο πνευ στε εις θε ω ρι
ας ε πι βα σιν δι α του το τον λο γον
της α λη θει ας ορ θο το μων και τη πι
στει ε νη θλη σας με χρις αι μα τος ι ε
ρο μαρ τυς Ι γνα τι ε πρε σβευ ε Χρι στω
τω Θε ω σω θη ναι τας ψυ χας η μων

Δο ξα Πα τρι και Υι ω και α γι
ω Πνευ μα τι (Τὸ αὐτό.)

Καὶ τρόπων μέτοχος, καὶ θρόνων διάδοχος, τῶν Ἀποστόλων γενόμενος, τὴν πρᾶξιν εὗρες θεόπνευστε, εἰς θεωρίας ἐπίβασιν· διὰ τοῦτο τὸν λόγον τῆς ἀληθείας ὀρθοτομῶν, καὶ τῇ πίστει ἐνήθλησας μέχρις αἵματος, Ἱερομάρτυς Ἰγνάτιε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν... *Θεοτοκίον*

*Τῇ Παρασκευῇ ἑσπέρας, καὶ τῷ Σαββάτῳ πρωΐ.*

*Εἰς τό, Θεὸς Κύριος, Ἦχος δ΄.*

Τὸ ἀπ᾽ αἰῶνος ἀπόκρυφον, καὶ Ἀγγέλοις ἄγνωστον Μυστήριον διὰ σοῦ Θεοτόκε, τοῖς ἐπὶ γῆς πεφανέρωται, Θεὸς ἐν ἀσυγχύτῳ, ἑνώσει σαρκούμενος, καὶ Σταυρὸν ἑκουσίως, ὑπὲρ ἡμῶν καταδεξάμενος, δι᾽ οὗ ἀναστήσας τὸν πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.




ος εν α συγ χυ τω ε νω σει σαρ κου με νος
και Σταυ ρον ε κου σι ως υ περ η μων κα τα
δε ξα με νος δι ου α να στη σας τον πρω
το ο πλα στον ε σω σεν εκ θα να του τας
ψυ χας η μω ω ων

Τῷ Σαββάτῳ πρωΐ.

Μετὰ τὴν α´ Στιχολογίαν

Καθίσματα Μαρτυρικά. Ἀγγελικαὶ δυνάμεις

Ἦχος πλ. β´ Δι

Ἀθλητικαὶ ἐνστάσεις ἐπὶ τῷ σκάμματι, τυραννικαὶ αἰκίσεις ἐπὶ τοὺς Μάρτυρας, καὶ ἵσταντο χοροὶ τῶν Ἀσωμάτων, βραβεῖα κατέχοντες τῆς νίκης, ἐξέστησαν τυράννους καὶ Βασιλεῖς οἱ σοφοί, καθεῖλον τὸν Βελίαρ, ὁμολογίᾳ Χριστοῦ, ὁ ἐνισχύσας αὐτούς, Κύριε δόξα σοι.



μο λο γι α Χρι στου ο ε νι σχυ σας αυ

τους Κυ υ ρι ε δο ξα σοι οι

**Στίχ.** Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ ὁ Θεὸς Ἰσραὴλ αὐτὸς δώσει δύναμιν καὶ κραταίωσιν τῷ λαῷ αὐτοῦ εὐλογητὸς ὁ Θεός.

Ἀθλητικὸν ἀγῶνα ὑπομείναντες οἱ Ἅγιοι, καὶ τὰ βραβεῖα τῆς νίκης, παρὰ σοῦ κομισάμενοι, κατήργησαν τὰς ἐπινοίας των παρανόμων, ἐδέξαντο στεφάνους τῆς ἀφθαρσίας. Δι΄ αὐτῶν ὁ Θεὸς δυσωπούμενος, δώρησαι ἡμῖν τὸ μέγα ἔλεος.

Β Δ

Α θλη τι κον α γω να υ πο μει ναν

τες οι Α γι οι και τα βρα βει α της νι κης πα

ρα σου κο μι σα με νοι κα τηρ γη σαν τας

ε πι νοι οι ας των πα ρα νο μων ε δε

ξαν το τους στε φα α νους της α φθαρ σι ας

δι αυ των ο Θε ος δυ σω που με νος δω ρη

σαι η μιν το με γα ε λε ο ος

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωμεν πάντα τὰ θελήματα αὐτοῦ ἐν αὐτοῖς.

Τῶν Ἁγίων σου ἡ μνήμη Κύριε, ἀνεδείχθη ὡς Παράδεισος ὁ ἐν Ἐδέμ· ἐν αὐτῇ γὰρ ἀγάλλεται πᾶσα ἡ κτίσις. Διὸ παράσχου ἡμῖν, τῇ αὐτῶν παρακλήσει, εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Των Α γι ων σου η μνη μη Κυ ρι ε

α νε δει χθη ως Πα ρα δει σος ο εν Ε δεμ

εν αυ τη γαρ α γαλ λε ται πα σα α η κτι σις

δι ο πα ρα σχου η μιν τη αυ των πα α ρα

κλη σει ει ρη η νην και το με γα ε ε

λε ο ος

## Δόξα... Καὶ νῦν... Θεοτοκίον

Ὁ τὴν εὐλογημένην καλέσας σου Μητέρα, ἦλθες ἐπὶ τὸ πάθος ἑκουσίᾳ βουλῇ, λάμψας ἐν τῷ Σταυρῷ, ἀναζητῆσαι θέλων τὸν Ἀδάμ, λέγων τοῖς Ἀγγέλοις. Συγχάρητέ μοι, ὅτι εὑρέθη ἡ ἀπολομένη δραχμή, ὁ πάντα σοφῶς οἰκονομήσας, Θεὸς δόξα σοι.

Ο την ευ λο γη με νην κα λε σας σου ου
Μη τε ρα ηλ θες ε πι το πα θος ε κου σι α
βου λη λαμ ψας εν τω Σταυ ρω α να ζη τη
σαι θε λων τον Α δαμ λε γων τοις Αγ γε
λοις συγ χα α ρη τε μοι ο τι ευ ρε θη η
α πο λο με νη δραχ μη ο παν τα σο φως οι

κο νο μη σας δο ξα σοι

## Μετά τὴν β΄ Στιχολογίαν
## Μαρτυρικὸν

Φῶς δικαίοις διὰ παντός· οἱ γὰρ Ἅγιοι ἐν σοὶ φωτισθέντες, καταλάμπουσιν ἀεὶ ὡς φωστῆρες, λύχνον ἀσεβῶν σβέσαντες, ὧν ταῖς εὐχαῖς, σὺ φωτιεῖς λύχνον μου Κύριε, καὶ σῶσόν με.

Φως δι και αι αι οις δι α παν τος

οι γαρ Α γι οι εν σοι φω ω τι σθεν τες κα

τα λαμ που σιν α ει ω ως φω στη ρες λυ

χνον α σε βων σβε σαν τες ων ταις ευ χαις συ φω

τι εις λυ χνον μου Κυ ρι ε και σω σο ον

με ε

Στιχ. Μακάριοι οὓς ἐξελέξω καί προσελάβου Κύριε.

Ἀληθῶς ματαιότης τὰ σύμπαντα, ὁ δὲ βίος σκιὰ καὶ ἐνύπνιον· καὶ γὰρ μάτην ταράττεται πᾶς γηγενής, ὡς εἶπεν ἡ Γραφή, ὅτε τὸν κόσμον κερδήσομεν, τότε τῷ τάφῳ οἰκήσομεν, ὅπου ὁμοῦ Βασιλεῖς καὶ πτωχοί. Διὸ Χριστὲ ὁ Θεός, τοὺς μεταστάντας ἀνάπαυσον, ὡς φιλάνθρωπος.



τα σταν τας α να α παυ σον ως φι λα αν

θρω πο ος

## Δόξα... Καὶ νῦν... Θεοτοκίον

### Ἐλπὶς τοῦ κόσμου ἀγαθὴ

Ἡ κραταιὰ τῶν γηγενῶν, προστασία καὶ σκέπη, Θεοκυῆτορ Μαριάμ, ἡ τεκοῦσα ἐν χρόνῳ, τὸν ἄχρονον Υἱὸν καὶ Λόγον τοῦ Θεοῦ, ἱκέτευε αὐτόν, ὡς Μήτηρ οὖσα ἐκτενῶς, σὺν Μάρτυσι καὶ Προφήταις, καὶ θείοις Ἀσκηταῖς, σῶσαι τοὺς μεταστάντας.

Η κρα ται α των γη γε νων προ

στα σι α και σκε ε ε πη Θε ο κυ η τορ

Μα ρι αμ η τε κου ου σα εν χρο νω τον α

α χρο νον Υι ον και Λο γον του Θε ου

ι κε τευ ε αυ τον ως Μη τηρ ου σα εκ τε

νως συν Μα αρ τυ σι και Προ φη ταις και

θει οις α σκηταις σω σαι τους με τα αν

τας

Ἀναγινώσκεται Ὁ Ν΄ Ψαλμός.

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός.

Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν Σου ἐποίησα. Ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις Σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί Σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας Σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσο-μαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύ-νην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν Σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου Σου, καὶ τὸ Πνεῦμά Σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου Σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς Σου, καὶ ἀσεβεῖς ἐπὶ Σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην Σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν Σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ Σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν Σου μόσχους.

### Κανὼν εἰς πάντας τοὺς Ἁγίους.
### Ὠδὴ α΄. Ἦχος πλ. β΄
### Ὁ Εἱρμὸς

**Ὁ** αἰσθητὸς Φαραώ, κατεποντίσθη πανστρατί, Ἰσραὴλ δὲ διελθών, ἐν μέσῳ τῆς θαλάσσης ἀνεβόα· Κυρίῳ τῷ Θεῷ ἡμῶν ᾄσωμεν, ὅτι δεδόξασται.

Ἦχος Βου




Στιχ. Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπέρ ἡμῶν.

**Λ**ελαμπρυσμένῳ νοΐ, τοὺς σκοτεινοὺς περὶ τὸ φῶς, δυσσεβοῦντας τυράννους οἱ Μάρτυρες

αἰσχύναντες, πρὸς ἀνέσπερον φέγγος, νικηφόροι γενόμενοι, σοφῶς μετέβησαν.

Στιχ. Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπέρ ἡμῶν.

Οἱ Ἱεράρχαι Χριστοῦ, τῶν Ὁσίων ὁ χορός, Προφητῶν καὶ Δικαίων ἁπάντων ὁμήγυρις, ἀρετῶν ταῖς ἰδέαις, ἀστραπτόμενοι ἔφθασαν, πρὸς οὐρανίους σκηνάς.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Γυναίων πᾶσα πληθύς, προσῳκειώθη τῷ Θεῷ, καὶ τὴν Εὔαν τὸν δεινῶς ἀπάτῃ θανατώσαντα, συμπατήσασα πόνοις, ἀνδρικοῖς μακαρίζεται, ἐνθέοις ᾄσμασι.

Νεκρώσιμον

Στίχ. Μακάριοι οὓς ἐξελέξω καὶ προσελάβου, Κύριε.

Ὁ ἀπὸ γῆς κατ΄ ἀρχάς, πλάσας τὸν ἄνθρωπον Χριστέ, τὰς ψυχὰς τῶν σῶν δούλων, ἀνάπαυσον δεόμεθα, ἐν σκηναῖς τῶν δικαίων, καὶ ἐν τόποις ἀνέσεως, ὡς Ὑπεράγαθος.

Θεοτοκίον

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἱερωτέρα Ἁγνή, τῶν Χερουβεὶμ καὶ Σεραφείμ, ἀνεδείχθης τεκοῦσα, τὸν ποιητὴν τῆς κτίσεως, ὃν ἀπαύστως δυσώπει, οἰκτειρῆσαι τοὺς δούλους σου, τοὺς σὲ δοξάζοντας.

Κανὼν εἰς Κοιμηθέντας,
Ὠδὴ α΄
Ἦχος πλ. β΄.
Ὡς ἐν ἠπείρῳ πεζεύσας

Στίχ. Πρεσβείαις τῶν Μαρτύρων σου ἀνάπαυσον, Κύριε, τὰς ψυχὰς τῶν δούλων σου.

Ἐν οὐρανίοις θαλάμοις διηνεκῶς, οἱ γενναῖοι Μάρτυρες, δυσωποῦσί σε Χριστέ. Οὓς ἐκ γῆς μετέστησας πιστούς, αἰωνίων ἀγαθῶν, τυχεῖν ἀξίωσον.

Στίχ. Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς αὐλισθήσονται.

Κατακοσμήσας τὰ πάντα ζῶον μικτόν, μέσον με τὸν ἄνθρωπον, ταπεινότητος ὁμοῦ, καὶ μεγέθους ἔπλασας· διό, τὰς τῶν δούλων σου ψυχάς, Σῶτερ ἀνάπαυσον.

Στίχ. Καὶ τὸ μνημόσυνον αὐτῶν, εἰς γενεάν και γενεάν.

Τοῦ παραδείσου πολίτην καὶ γεωργόν, κατ΄ ἀρχάς με ἔταξας, παραβάντα δὲ τὴν σήν, ἐντολὴν ἐξώρισας· διό, τὰς τῶν δούλων σου ψυχάς, Σῶτερ ἀνάπαυσον.

Θεοτοκίον

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὁ ἐκ πλευρᾶς διαπλάσας Εὔαν τὸ πρίν, τὴν ἡμῶν προμήτορα, ἐξ ἀχράντου σου γαστρός, σάρκα περιβάλλεται δι᾽ ἧς, τοῦ θανάτου τὴν ἰσχύν, Ἁγνὴ διέλυσε.

Ὠδὴ α΄, τοῦ Ἱερομάρτυρος.
Ἦχος δ΄.
Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἰθύνας πρὸς ἀρετὴν τὸν βίον μου, φωτὶ καταύγασον, τῆς ἐνοικούσης χάριτος ἐν σοί, Θεοφόρε Ἰγνάτιε, καὶ τῶν παθῶν τὴν σύγχυσιν, ταῖς σαῖς πρεσβείαις διασκέδασον. (Δὶς)

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Γῆ ὥσπερ γονιμωτάτη πέφηνας, ἑκατοστεύοντα, καρποφορῶν τὸν σπόρον τῷ Χριστῷ, Θεοφόρε Ἰγνάτιε, τῷ τὰς ψυχὰς ἀρδεύοντι, τῇ ἐπομβρίᾳ τῇ τοῦ Πνεύματος.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Νοήσας προγνωστικῇ δυνάμει σου, τὸ εὐγενὲς τῆς ψυχῆς, ὁ τοῦ παντὸς Δεσπότης καὶ Θεός, Θεοφόρε Ἰγνάτιε, μαρμαρυγαῖς τοῦ Πνεύματος, θεοφεγγέσι κατελάμπρυνεν.

Δόξα...

Ἀκτῖσι τοῦ νοητοῦ λαμπόμενος, Ἡλίου πάνσοφε, Ἀνατολῆς ἐξώρμησας λαμπρῶς, αἰσθητὸς ὥσπερ ἥλιος, τὸ ζοφερὸν τῆς Δύσεως, περιαυγάζων τῷ κηρύγματι.

Καὶ νῦν... Θεοτοκίον.

Τριάδος τῆς ὑπερθέου Πάναγνε, τὸν ἕνα τέτοκας, ἐκ σοῦ σαρκὶ φανέντα καθ᾽ ἡμᾶς, εὐδοκίᾳ Γεννήτορος, καὶ συνεργείᾳ Πνεύματος, τοῦ παναγίου Θεονύμφευτε.

## Κανὼν εἰς πάντας τοὺς Ἁγίους.

## Ὠδὴ γ΄. Ἦχος πλ. β΄ Ὁ Εἱρμὸς

Ἐν τῇ στερρᾷ, τῆς πίστεώς σου πέτρᾳ, τὸν λογισμὸν ἑδράσας τῆς ψυχῆς μου, στερέωσον Κύριε· σὲ γὰρ ἔχω ἀγαθέ, καταφυγὴν καὶ στερέωμα.

Ἦχος Βου




Στίχ. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Σωματικοῖς, ὁμιλοῦντες νῦν πόνοις, οἱ Ἀθληταί, τὴν ἄπονον ἐσκόπουν, ἀντίδοσιν χαίροντες, καὶ νῦν παύουσιν ἡμῶν, πόνους παντοίους ἐν χάριτι.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Γνώμῃ στερρᾷ, σοβοῦντες τὰ θηρία, τὰ πονηρά, οἱ θεῖοι Ἱεράρχαι, ἐρρύσαντο ἄτρωτα, τῆς κακίας τῆς αὐτῶν, τὰ τοῦ Χριστοῦ θεῖα θρέμματα.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ἐθελοντί, ζυγὸν τὸν τοῦ Κυρίου, ὑπεισελθών, χορὸς ὁ τῶν ὁσίων, ἐνέκρωσε φρόνημα, τῆς σαρκὸς καὶ τὴν ζωήν, τὴν δι᾽ αἰῶνος ἀπέλαβε.

### Νεκρώσιμον

Στίχ. Μακάριοι οὓς ἐξελέξω καὶ προσελάβου Κύριε.

Ῥῦσαι πυρός, Χριστὲ τοῦ αἰωνίου, τοὺς εὐσεβῶς, τοῦ βίου μεταστάντας, καὶ δὸς αὐτοῖς ἄφεσιν, ὀφλημάτων ἀγαθέ, καὶ αἰωνίαν ἀπόλαυσιν.

### Θεοτοκίον

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Αἱ τὸν Χριστόν, ποθήσασαι Γυναῖκες, σὲ τὴν αὐτόν, ἀρρήτως τετοκυῖαν, πανάχραντε Δέσποινα, γεγηθότι λογισμῷ, παρεστῶσαι νῦν χορεύουσι.

Κανὼν Νεκρώσιμος,
Ὠδὴ γ΄
Ἦχος πλ. β΄
Οὐκ ἔστιν Ἅγιος ὡς σύ,

Στίχ. Πρεσβείαις τῶν Μαρτύρων σου ἀνάπαυσον, Κύριε, τὰς ψυχὰς τῶν δούλων σου.

Νομίμως ἤθλησαν οἱ σοί, Μάρτυρες ζωοδότα, καὶ στεφάνῳ τῆς νίκης, κοσμηθέντες παρὰ σοῦ, τοῖς μεταστᾶσι πιστοῖς, αἰωνίαν λύτρωσιν αἰτοῦσί σε.

Στίχ. Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς αὐλισθήσονται.

Παιδεύσας πρότερον πολλοῖς, τέρασι καὶ σημείοις, ἐμὲ τὸν πλανηθέντα, ἐπ΄ ἐσχάτων σεαυτόν, κενώσας ὡς συμπαθής, καὶ ζητήσας εὗρες καὶ διέσωσας.

Στίχ. Καὶ τὸ μνημόσυνον αὐτῶν, εἰς γενεάν και γενεάν.

Ῥεόντων ἄστατον φοράν, τοὺς πρὸς σὲ διαβάντας, ἐν σκηναῖς αἰωνίοις, κατοικεῖν χαρμονικῶς, ἀξίωσον Ἀγαθέ, δικαιώσας πίστει τε καὶ χάριτι.

Θεοτοκίον

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

**Ο**ὐκ ἔστιν ἄμεμπτος ὡς σύ, πάναγνε Θεομῆτορ· μόνη γὰρ ἐξ αἰῶνος, τὸν Θεὸν τὸν ἀληθῆ, συνέλαβες ἐν γαστρί, τοῦ θανάτου λύσαντα τὴν δύναμιν.

Ὠδὴ γ΄,
τοῦ Ἱερομάρτυρος.
Ἦχος δ΄.
Εὐφραίνεται ἐπὶ σοί.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἰάτρευσόν μου τὸν νοῦν, κεκακωμένον τοῖς δεινοῖς πάθεσι, τοῖς τῆς σαρκὸς Ἰγνάτιε, Μάρτυς τοῦ Χριστοῦ παναοίδιμε.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὁμόφρονά σε Χριστός, τῶν Ἀποστόλων εὖ εἰδὼς τέθεικε, θείῳ φωτὶ λάμποντα, ἐν ταῖς Ἐκκλησίαις διδάσκαλον.

Δόξα...

Νεκρούμενον διὰ σέ, τὸν Ζωοδότην καθορῶν ἔδραμες, τὸν δι᾽ αὐτὸν θάνατον, πόθῳ ὑποστῆναι Ἰγνάτιε.

Καὶ νῦν... Θεοτοκίον.

Τὸν Λόγον τὸν τοῦ Πατρός, προκαθαρθεῖσα ᾧ Σεμνὴ Πνεύματι, τῆς λογικῆς φύσεως, ἐπ᾽ εὐεργεσίᾳ γεγέννηκας.

### Ὠδὴ γ΄, τοῦ μηναίου
### Ἦχος δ΄
### Ὁ Εἱρμὸς

Εὐφραίνεται ἐπὶ σοί, ἡ Ἐκκλησία σου Χριστὲ κράζουσα· Σύ μου ἰσχὺς Κύριε, καὶ καταφυγὴ καὶ στερέωμα».

Ἦχος



Κάθισμα.
Ἦχος γ΄.
Θείας πίστεως.

Θείῳ Πνεύματι πεφωτισμένος, θράσος τύραννον ἐν παρρησίᾳ, ποιμαντικῇ μεγαλοφρόνως κατῄσχυνας· καὶ ἐκπεράσας τῆς πλάνης τὸ πέλαγος, πρὸς τὸν λιμένα τὸν θεῖον κατήντησας, Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα... Καὶ νῦν... Θεοτοκίον

Θείας φύσεως οὐκ ἐχωρίσθη, σὰρξ γενόμενος ἐν τῇ γαστρί σου, ἀλλὰ Θεὸς ἐνανθρωπήσας μεμένηκεν, ὁ μετὰ τόκον Παρθένον Μητέρα σε, ὡς πρὸ τοῦ τόκου φυλάξας πανάμωμον, μόνος Κύριος. Αὐτὸν ἐκτενῶς ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Ὠδὴ στ΄, τοῦ Μηναίου
Ἦχος δ΄.
Ὁ Εἱρμὸς

Θύσω σοι, μετὰ φωνῆς αἰνέσεως Κύριε, ἡ Ἐκκλησία βοᾷ σοι, ἐκ Δαιμόνων λύθρου κεκαθαρμένη, τῷ δι΄ οἶκτον, ἐκ τῆς πλευρᾶς σου ῥεύσαντι αἵματι».


Ἦχος
Θυ σω ω σοι με τα φω νης αι νε
σε ως Κυ ρι ε η Εκ κλη σι α βο α σοι
εκ δαι μο νων λυ υ θρου κε κα θαρ με νη
τω δι οι κτον εκ της πλευ ρας σου ρευ σαν τι
αι μα τι ι ι ι

## Κοντάκιον
### Ἦχος δ΄
### Ἐπεφάνης σήμερον

Ἐξ Ἑώας σήμερον ἐξανατείλας, καὶ τὴν κτίσιν ἅπασαν, καταλαμπρύνας διδαχαῖς, τῷ Μαρτυρίῳ κεκόσμηται, ὁ Θεοφόρος καὶ θεῖος Ἰγνάτιος.

### Ὁ Οἶκος

Ἱερεμίαν ὁ Θεὸς ἐκ μήτρας ἁγιάσας, καὶ πρὸ τοῦ γεννηθῆναι γινώσκων ὡς προγνώστης, δοχεῖον ἔσεσθαι αὐτὸν Πνεύματος Ἁγίου, ἐμπιπλᾷ τοῦτον εὐθύς, ἐκ νεαρᾶς βιώσεως, καὶ Προφήτην τοῦτον, καὶ κήρυκα πᾶσιν ἀποστέλλει, προαγγέλλειν τὴν ἁγίαν ἐπὶ τῆς γῆς αὐτοῦ παρουσίαν. Τεχθεὶς οὖν ὁ αὐτὸς Θεὸς ἐκ Παρθένου, πρός τὸ κήρυγμα ἐλθών, εὗρεν ἐκ βρέφους, ἄξιον αὐτοῦ τῆς χάριτος ὑποφήτην, τὸν θεοφόρον καὶ θεῖον Ἰγνάτιον.

## Σ Υ Ν Α Ξ Α Ρ Ι Ο Ν

Τῇ ΚΘ΄ τοῦ αὐτοῦ μηνός, Ἡ Ἀνακομιδὴ τῶν Λειψάνων τοῦ Ἁγίου Ἱερομάρτυρος Ἰγνατίου τοῦ Θεοφόρου.

### Στίχοι

Χάρις λέουσιν Ἰγνάτιε παμβόροις,
Σοῦ σώματος λιποῦσι καὶ πιστοῖς μέρος.
Τῇ ἐνάτῃ ἐπάνοδος Ἰγνατίῳ εἰκάδι τύχθη.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων ἑπτὰ Μαρτύρων, τῶν ἐν Σαμοσάτοις τελειωθέντων, Φιλοθέου, Ὑπερεχίου, Ἀβίββου Ἰουλιανοῦ, Ῥωμανοῦ, Ἰακώβου καὶ Παρηγορίου.

Στίχοι

Ὑπὲρ προσηλωθέντος ἐν Σταυρῷ Λόγου,
Ἑπτὰ προσηλώθησαν Ἀθλητῶν κάραι.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρτύρων Σιλουανοῦ Ἐπισκόπου, Λουκᾶ Διακόνου, καὶ Μωκίου Ἀναγνώστου.

Στίχοι

Σιλουανὸς Λουκᾶς τε σὺν Μωκίῳ,
Ἤμβλυναν ὁρμὰς καὶ λεόντων ἀγρίων.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρτύρων Σαρβήλου καὶ Βεβαίας τῆς ἀδελφῆς αὐτοῦ, τῶν ἐν Ἐδέσσῃ παθόντων.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Ἱερομάρτυρος Βαρσιμαίου, Ἐπισκόπου Ἐδέσσης.

Στίχοι

Δοὺς τὴν βαρεῖαν σάρκα γῇ Βαρσιμαῖος,
Σύνεστι βαστάσασιν ἡμέρας βάρος.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἀφραάτου.

Στίχοι

Ὁ σάρκα καὶ ζῶν νεκρὸς ὢν Ἀφραάτης,
Αἰωνίως ζῇ, καὶ νεκρὸς φανεὶς ἄπνους.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

*Ὠδὴ η΄, τοῦ μηναίου*

Ἦχος δ΄. Ὁ Εἱρμὸς

Στίχ. Αἰνοῦμεν, εὐλογοῦμεν, καὶ προσκυνοῦμεν τὸν Κύριον,

Χεῖρας ἐκπετάσας Δανιήλ, λεόντων χάσματα ἐν λάκκῳ ἔφραξε, πυρὸς δὲ δύναμιν ἔσβεσαν, ἀρετὴν περιζωσάμενοι, οἱ εὐσεβείας ἐρασταί, Παῖδες κραυγάζοντες· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἦχος



Χει ει ρας εκ πε τα σας Δα νι ηλ
λε ον των χα σμα τα εν λακ κω ε φρα ξε
πυ ρος δε δυ να μιν ε σβε σαν α ρε την πε
ρι ζω σα με ε νοι οι ευ σε βει ας ε ρα σται
Παι δες κραυ γα ζον τες ευ λο γει τε παν τα
τα ερ γα Κυ ρι ου τον Κυ ρι ο ο ο ο
ον

Τὴν Θεοτόκον καὶ Μητέρα τοῦ φωτὸς…

## Τιμιωτέρα τετάρτου ἤχου.

Τιμιωτέρα Ἦχος λ̆ Γτος

Στίχος α΄

Με γα λυ νει η ψυ χη μου

τον Κυ ρι ον και η γαλ λι α σε το

πνευ μα μου ε πι τω Θε ω ω τω σω

τη ριμου

Την Τι μι ω τε ραν των Χε ρου βιμ και

εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα φιμ

την α δι α φθο ρως Θε ον Λο γον τε κου

σαν την ον τως Θε ο το κον σε με γα λυ νο

μεν

Στίχος β΄

Ο τι ε πε βλε ψεν ε πι την

τα πει νω σιν της δου λης αυ του ι δου

γαρ α πο του νυν μα κα ρι ου σι με πα

σαι αι γε νε αι

Την Τι μι ω τε ραν των Χε ρου βιμ και

εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα φιμ

την α δι α φθο ρως Θε ον Λο γον τε κου

σαν την ον τως Θε ο το κον σε με γα λυ νο

μεν

Στίχος γ΄ Ο τι ε ποι η σε μοι με γα

λει α ο δυ να τος και α γι ον το

ο νο μα αυ του και το ε λε ος αυ του

εις γε νε αν και γε νε αν τοις φο βου

με νοις αυ τον

Την Τι μι ω τε ραν των Χε ρου βιμ και

εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα φιμ

την α δι α φθο ρως Θε ον Λο γον τε κου

σαν την ον τως Θε ο το κον σε με γα λυ νο

μεν

Στίχος δ' Ε ποι η σε κρα τος εν βρα χι

ο νι αυ του δι ε σκορ πι σεν υ πε

ρη φα νους δι α νοι α καρ δι ας αυ των

Την Τι μι ω τε ραν των Χε ρου βιμ και


εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα φιμ
την α δι α φθο ρως Θε ον Λο γον τε κου
σαν την ον τως Θε ο το κον σε με γα λυ νο
μεν
Στίχος ε'
Κα θει λε δυ να στας α πο θρο
νων και υ ψω σε τα πει νους πει νων τας ε
νε πλη σεν α γα θων και πλου του ουν τας ε
ξα πε στει λε κε νους
Την Τι μι ω τε ραν των Χε ρου βιμ και
εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα
φιμ την α δι α φθο ρως Θε ον Λο γον τε


κου σαν την ον τως Θε ο το κον σε με γα λυ
νο μεν
Στίχος στ´ Ἀν τε λα βε το Ισ ρα ηλ παι
δος αυ του μνη σθη ναι ε λε ους κα θως
ε λα λη σε προς τους πα τε ρας η μων
τω Α βρα αμ και τω σπερ μα τι αυ του ε
ως αι ω νος
Την Τι μι ω τε ραν των Χε ρου βιμ
και εν δο ξο τε ραν α συγ κρι τως των
Σε ρα φιμ την α δι α φθο ρως Θε ον
Λο γον τε κου σαν την ον τως Θε ο το κον

σε με γα λυ νο μεν

Εἶτα ψάλλεται ἡ θ΄ ᾠδὴ τοῦ Μηναίου

Ἦχος δ΄.

Ὁ Εἱρμὸς

Λίθος ἀχειρότμητος ὄρους, ἐξ ἀλαξεύτου σου Παρθένε, ἀκρογωνιαῖος ἐτμήθη, Χριστὸς συνάψας, τὰς διεστώσας φύσεις· διὸ ἐπαγαλλόμενοι, σὲ Θεοτόκε μεγαλύνομεν.

Ἦχος λ΄ τος

Λι θος α χει ρο τμη τος ο ρους

εξ α λα ξευ του σου Παρ θε νε α κρο γω

νι αι ος ε τμη η θη Χρι στος συ να α

ψας τας δι ε στω σας φυ σεις δι ο ε πα

γαλ λο με νοι σε ε Θε ο το κε με γα λυ νο

μεν

Α ξι ον ε στιν ως α λη θως μα κα

ρι ζειν σε την Θε ο το κον την α ει μα

κα ρι στον και πα να μω μη τον και μη

τε ρα του Θε ου η μων τη τι μι ω

τε ραν των Χε ρου βιμ και εν δο ξο τε ραν α

συγ κρι τως των Σε ρα φιμ την α δι α φθο

ρως Θε ο ον Λο ο γον τε κου σαν την ον τως

Θε ο το κον σε ε με γα λυ νο με ε ε ε εν

Ἐξαποστειλάρια.

Ἦχος γ΄. Τῷ Σαββάτῳ.

Ὁ οὐρανὸν τοῖς ἄστροις, κατακοσμήσας ὡς Θεός, καὶ διὰ τῶν σῶν Ἁγίων, πᾶσαν τὴν γῆν φωταγωγῶν, Δημιουργὲ τῶν ἁπάντων, τοὺς ἀνυμνοῦντάς σε σῷζε.

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ ΤΟΥ ΜΗΝΑΙΟΥ

Ἐξαποστειλάριον τοῦ Ἱερομάρτυρος.

Ἦχος β΄.

Γυναῖκες ἀκουτίσθητε.

Τοὺς πόθῳ ἑορτάζοντας, τὴν σὴν φαιδρὰν ἐπάνοδον, Ἰγνάτιε Θεοφόρε, Ἱερομάρτυς παμμάκαρ λύτρωσαι πάσης θλίψεως, καὶ βλάβης τοῦ ἀλάστορος, διδοὺς πταισμάτων ἄφεσιν, ὡς εἰληφὼς ἐξουσίαν, παρὰ Χριστοῦ τοῦ Σωτῆρος.

Θεοτοκίον.

Ἦχος β΄.

Γυναῖκες ἀκουτίσθητε.

Ἐν δύο ταῖς θελήσεσι, καὶ φύσεσι Πανάμωμε, μιᾷ δὲ τῇ ὑποστάσει, τίκτεις Θεὸν ἀπορρήτως, τὸν δι᾽ ἡμᾶς πτωχεύσαντα, μέχρι Σταυροῦ θελήματι, καὶ ἡμῖν χαρισάμενον, τὸν τῆς Θεότητος πλοῦτον, Θεοκυῆτορ Παρθένε

## ΑΙΝΟΙ

## ΨΑΛΜΟΣ ΡΜΗ΄ (148)

Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις.

Αἰνεῖτε αὐτόν, πάντες οἱ Ἄγγελοι αὐτοῦ, αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ.

Αἰνεῖτε αὐτόν, ἥλιος καὶ σελήνη, αἰνεῖτε αὐτόν, πάντα τὰ ἄστρα καὶ τὸ φῶς.

Αἰνεῖτε αὐτόν, οἱ οὐρανοὶ τῶν οὐρανῶν, καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν.

Αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.

Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται.

Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, δράκοντες καὶ πᾶσαι ἄβυσσοι.

Πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ.

Τὰ ὄρη καὶ πάντες οἱ βουνοί, ξύλα καρποφόρα, καὶ πᾶσαι κέδροι.

Τὰ θηρία καὶ πάντα τὰ κτήνη, ἑρπετὰ καὶ πετεινὰ πτερωτά.

Βασιλεῖς τῆς γῆς καὶ πάντες λαοί, ἄρχοντες καὶ πάντες κριταὶ τῆς γῆς.

Νεανίσκοι καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων, αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου.

Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ, καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ.

Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ, τοῖς υἱοῖς Ἰσραήλ, λαῷ ἐγγίζοντι αὐτῷ.

## ΨΑΛΜΟΣ ΡΜΘ΄ (149)

ᾎσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ Ὁσίων.

Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτόν, καὶ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν.

Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ , ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ.

Ὅτι εὐδοκεῖ Κύριος ἐν τῷ λαῷ αὐτοῦ, καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ.

Καυχήσονται ὅσιοι ἐν δόξῃ, καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.

Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν, καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν.

Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν,

ἐλεγμοὺς ἐν τοῖς λαοῖς.

Τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις, καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς.

Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον, δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

## ΨΑΛΜΟΣ ΡΝ´ (150)

Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ .

Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλλαλαγμοῦ, Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Δόξα... Καὶ νῦν...

Ὁ προεστώς:

Σοὶ δόξα πρέπει, Κύριε, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Ἀναγνώστης χῦμα τό:

Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμεν σε, εὐλογοῦμέν σε, προσκυ νοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε Βασιλεῦ, ἐπουράνιε Θεέ, πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ θεοῦ, ὁ Υἱός τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ΄ ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα. Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς. ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ΄ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου.

Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.

Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ διάκονος:

Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Ὁ χορός: Κύριε ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.

Ὁ χορός: Κύριε ἐλέησον.

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου, αἰτησώμεθα.

Ὁ χορός: Παράσχου Κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα των ψυχῶν καί τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Ὁ χορός: Παράσχου Κύριε.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καί

τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Ὁ χορός: Παράσχου Κύριε.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Ὁ χορός: Παράσχου Κύριε.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Ὁ χορός: Παράσχου Κύριε.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπί τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Ὁ χορός: Παράσχου Κύριε.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ χορός: Σοὶ Κύριε.

Ὅτι Θεός ἐλέους, οἰκτιρμῶν, καὶ

φιλανθρωπίας ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπωμεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αιῶνας τῶν αἰώνων.

Ὁ χορός: Ἀμήν.

Ὁ Ἱερεύς: Εἰρήνη πᾶσι.

Ὁ χορός: Καὶ τῷ πνεύματί σου.

ὁ διάκονος: Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ χορός: Σοί, Κύριε.

Ὁ Ἱερεύς: Τὴν εὐχὴν τῆς κεφαλοκλισίας......

Ὁ Ἱερεύς: Σὸν γὰρ ἐστι τὸ ἐλεεῖν καὶ σώζειν ἡμᾶς, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἵῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός: Ἀμήν.

*Καὶ ἀρχόμεθα ψάλλειν τὰ Ἀπόστιχα τῶν Αἴνων*

## ΑΠΟΣΤΙΧΑ ΤΩΝ ΑΙΝΩΝ

### Στιχηρὰ Μαρτυρικὰ

### Ἦχος πλ. β΄

**Κ**ύριε, εἰ μὴ τοὺς Ἁγίους σου εἴχομεν πρεσβευτάς, καὶ τὴν ἀγαθότητά σου, συμπαθοῦσαν ἡμῖν, πῶς ἐτολμῶμεν Σωτὴρ ὑμνῆσαί σε, ὃν εὐλογοῦσιν ἀπαύστως Ἄγγελοι; Καρδιογνῶστα, φεῖσαι τῶν ψυχῶν ἡμῶν.




*Στίχ. β΄.* **Θ**αυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

**Μ**νήμη Μαρτύρων, ἀγαλλίαμα τοῖς φοβουμένοις τὸν Κύριον· ἀθλήσαντες γὰρ διὰ Χριστόν, στεφάνους παρ᾽ αὐτοῦ ἐκομίσαντο, καὶ νῦν ἐν παρρησίᾳ πρεσβεύουσιν, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.




*Στίχ. γ΄.* **Τ**οῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

**Τ**οὺς Ἁγίους ἐθαυμάστωσε, καὶ Ἁγίας ὁ Θεὸς ἡμῶν, ἀγαλλιᾶσθε καὶ εὐφραίνεσθε, πάντες οἱ δοῦλοι αὐτοῦ· ὑμῖν γὰρ ἡτοίμασε τὸν στέφανον, καὶ τὴν Βασιλείαν αὐτοῦ, ἀλλ᾽

αἰτοῦμεν, καὶ ἡμῶν μὴ ἐπιλάθησθε.




Νεκρώσιμον

Στίχ. Μακάριοι οὓς ἐξελέξω καὶ προσελάβου, Κύριε.

Ἐτίμησας εἰκόνι σου, τὸ τῶν χειρῶν σου Σῶτερ πλαστούργημα, ζωγραφήσας ἐν ὑλικῇ μορφῇ, τῆς νοερᾶς οὐσίας τὸ ὁμοίωμα, ᾗ καὶ κοινωνόν με κατέστησας, θέμενος τῶν ἐπὶ γῆς κατάρχειν με τῷ αὐτεξουσίῳ Λόγε· διὸ Σῶτερ

τοὺς δοούλους σου, ἐν χώρᾳ ζώντων, ἐν σκηναῖς Δικαίων ἀνάπαυσον.



## Ἀπόστιχα
## Δοξαστικὸν
## Ἦχος α΄

**Δ**όξα...

**Σ**τήλη ἔμψυχος, καὶ ἔμπνους εἰκὼν ἡ ἐτήσιός σου ἐπέστη Ἑορτή, Θεοφόρε Ἰγνάτιε, τὰς μυσταγωγίας σου καὶ τὰς ἀριστείας σου κηρύττουσα, τὴν ὑπὲρ τῆς πίστεως μέχρις αἵματος ἀντικατάστασιν· τὴν μακαρίαν ἐκείνην καὶ ἀοίδιμον φωνήν, τήν, Ὅτι σῖτός εἰμι Θεοῦ, λέγουσαν, καὶ δι᾽ ὀδόντων θηρίων ἀλήθομαι. Διὸ μιμητὴς τοῦ πάθους τοῦ Χριστοῦ σου γεγονώς, πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα... τοῦ Ἁγίου. Ἦχος α΄.

Ἦχος Πα




η ε τη σι ος σου ε πε στη η ε ορ
τη θε ο φο ο ρε Ι ι γνα α α τι
ι ι ι ε τας μυ στα γω γι α ας σου και
τας α ρι στει ας σου κη ρυτ του ου σα την
υ περ πι στε ως με χρις αι αι μα α τος αν
τι κα τα στα α σιν την μα κα ρι α
αν ε ε κει ει νην και α οι δι ι ον φω νην
την ο τι σι τος ει μι Θε ου λε γου ου σα
και δι ο δον των θη ρι ι ων α λη
η η θο ο ο ο μαι δι ο μι μη της του
Χρι στου συ υ γε γο νως πρε σβευ ε σω




## Καὶ νῦν...

### Σταυροθεοτοκίον Ἦχος α΄

### Πανεύφημοι Μάρτυρες

Νοσοῦσαν Πανύμνητε δεινῶς, τὴν ψυχήν μου πάθεσιν, πονηροτάτοις θεράπευσον, ἡ τὸν ἀκέστορα, καὶ Σωτῆρα πάντων, τὸν Χριστὸν κυήσασα, τὸν πᾶσαν μαλακίαν ἰώμενον, τὸν τραυματίσαντα, διαβόλου τὴν κακόνοιαν, καὶ θανάτου ὑμᾶς ἀπαλλάξαντα.

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου Ὕψιστε, τοῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα.

Ἀναγνώστης: Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς (ἐκ γ΄)

Δόξα... Καὶ νῦν ...

Παναγία Τριάς, ἐλέησον ἡμᾶς.

Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν,

Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν.

Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον, Κύριε, ἐλέησον, Κύριε, ἐλέησον.

Δόξα... Καὶ νῦν ...

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ἱερεύς: Ὅτι σοῦ ἐστιν ἡ βασιλεία...

## Ἀπολυτίκιον

### Ἀπολυτίκιον τοῦ Ἱερομάρτυρος.

Ἦχος πλ. β΄ Δι

Και τρο πων με το χος και θρο νων δι α δο χος των Α πο στο λων γε νο με νος την πρα ξιν ευ ρες θε ο πνευ στε εις θε ω ρι ας ε πι βα σιν δι α του το τον λο γον της α λη θει ας ορ θο το μων και τη πι στει ε νη θλη σας με χρις αι μα τος ι ε ρο μαρ τυς Ι γνα α τι ε πρε σβευ ε Χρι στω τω θε ω σω θη ναι τας ψυ χας η μων

**Δόξα... Καὶ νῦν...**

*Τῷ Σαββάτῳ πρωΐ*

*Εἰς τὸ τέλος τοῦ Ὄρθρου, Ἦχος δ΄.*

Σὲ μεγαλύνομεν Θεοτόκε, βοῶντες· Σὺ εἶ ἡ βάτος, ἐν ᾗ ἀφλέκτως Μωσῆς, κατεῖδεν ὡς φλόγα, τὸ πῦρ τῆς Θεότητος.



Εἰς τὴν Θείαν Λειτουργία

## ΚΥΡΙΕ ΕΛΕΗΣΟΝ

Ἦχος Νη




## ΕΤΕΡΑ




4. Κυ ρι ε ε ε λε η σοο ο ον
5. Κυ ρι ε ε λε ε η σον
6. Κυ ρι ε ε λε ε ε η σον
7. Κυ ρι ε ε λε η σον
8. Κυ ρι ε ε λε η σον
9. Κυ ρι ε ε λε η σον
10. Κυ ρι ε ε λε ε η σον
11. Κυ ρι ε ε λε ε ε η σον
12. Σοι Κυ ρι ε

## Ἀντίφωνο Α΄

Ἦχος Δι

Ἀ μη ην

Στίχ. α΄ Ἀ γα θον το ε ξο μο λο
γει σθαι τω Κυ ρι ω και ψαλ λειν τω ο
νο μα τι σου Υ ψι στε

Ταις πρε σβει αις της Θε ο το κου Σω
τερ σω σον η μας

Στίχ. β΄ Του α ναγ γε λειν τω πρω ι
το ε λε ος σου και την α λη θει αν
σου κα τα νυ κτα

Ταις πρε σβει αις της Θε ο το κου Σω

τερ σω σον η μας

Στίχ. γ΄ Ο τι ευ φρα νας με Κυ ρι ε

εν τοις ποι η μα σι σου και εν τοις ερ

γοις των χει ρων σου α γαλ λι α σο μαι

Ταις πρε σβει αις της Θε ο το κου Σω

τερ σω σον η μας

Στίχ. δ΄ Ο τι ευ θυς Κυ ρι ος ο Θε

ος η μων και ουκ ε στιν α δι κι α

εν αυ τω

Ταις πρε σβει αις της Θε ο το κου Σω

τερ σω σον η μας

## Δόξα Πατρὶ...Καὶ νῦν...

Το τελευταίον. Ταις πρε σβει αις της Θε ο το ο κου Σω τερ σω σον η μα α ας

### Ἀντίφωνο Β΄

Ἦχος Δι

Α μη ην

Στίχ. α΄ Ο Κυ ρι ος ε βα σι λευ σεν ευ πρε πει αν ε νε δυ σα το ε νε δυ σα το Κυ ρι ος δυ να μιν και πε ρι ε ζω σα το

Πρε σβει αις των α γι ων σου σω σον η μας Κυ ρι ε


Στίχ. β'
Και γαρ ε στε ρε ω σε την
οι ου με νην η τις ου σα λευ θη σε
ται
Πρε σβει αις των α γι ων σου σω σον η
μας Κυ ρι ε
Στίχ. γ'
Θαυ μα στοι οι με τε ω ρι
σμοι της θα λασ σης θαυ μα στος εν υ ψη
λοις ο Κυ ρι ος
Πρε σβει αις των α γι ων σου σω σον η
μας Κυ ρι ε
Στίχ. δ'
Τα μαρ τυ ρι α σου ε πι

στω θη σαν σφο δρα τω οι κω σου πρε πει

α γι α σμα Κυ ρι ε εις μα κρο τη

τα η με ρων

Πρε σβει αις των α γι ων σου σω σον η

μας Κυ ρι ε

Δο ξα Πα τρι και Υι ω και Α γι

ω Πνευ μα τι

Και νυν και α ει και εις τους αι ω νας

των αι αι ω νων Α μην

Ο μο νο γε νης Υι ος και Λο γος

του Θε ου α θα να τος υ πα α α αρ χων


και κα τα δε ξα με νος δι α την η
με τε ραν σω τη ρι ι αν σαρ κω θη
ναι εκ της Α γι ας Θε ο το κου και α
ει παρ θε νου Μα ρι ας α τρε ε πτως ε
αν θρω πη σας σταυ ρω θεις τε Χρι στε ο Θε
ος θα να α τω ω θα να τον πα τη σας ει
εις ων της Α γι ας Τρι α δος συν δο ξα
ζο ο με νος τω Πα τρι και τω Α γι ω Πνευ
μα τι σω σον η μα α ας

Ἀντίφωνο Γ΄

## Ἀντίφωνο Γ΄
### Ἦχος Δι

Σπχ. α΄ Δευ τε α γαλ λι α σω με θα τω Κυ ρι ω α λα λα ξω μεν τω Θε ω τω Σω τη ρι η μων

Σω σον η μας Υἱ ε Θε ου ο εν Α γι οις θαυ μα στος ψαλ λον τας Σοι αλ λη λου ι α

Σπχ. β΄ Προ φθα σω μεν το προ σω πον αυ του εν ε ξο μο λο γη σει και εν ψαλ μοις α λα λα ξω μεν αυ τω

Σω σον η μας Υἱ ε Θε ου ο

εν Α γι οις θαυ μα στος ψαλ λον τας Σοι

αλ λη λου ι α

Επχ. γ΄ Ο τι Θε ος με γας Κυ ρι ος

και βα σι λευς με γας ε πι πα σαν την

γην

Σω σον η μα ας Υι ε Θε ου ο εν

Α γι οις θαυ μα στος ψαλ λον τας Σοι αλ λη

λου ι α α α α

## Εἰσοδικό


Δευ τε προ σκυ νη σω μεν και προ σπε σω
μεν Χρι στω Σω σον η μα ας Υἱ ε Θε ου
ο εν Α γι οις θαυ μα στος ψαλ λον τας
Σοι αλ λη λου ι α

## Ἀπολυτίκιον

### Ἀπολυτίκιον τοῦ Ἱερομάρτυρος.

Ἦχος Δι



Ὁσάκις τελεῖται μνημόσυνον, πρὸ τοῦ Ἀπολυτικίου
τοῦ Ναοῦ ψάλλεται τὸ παρόν.

Ἦχος πλ. β΄ Γα




Ἀπολυτίκιον τοῦ Ναοῦ

## ΚΟΝΤΑΚΙΟΝ
## ΤΩΝ ΑΓΙΩΝ ΠΑΝΤΩΝ

Ἦχος Γα



## ΑΠΟΣΤΟΛΙΚΟΝ ΑΝΑΓΝΩΣΜΑ
## ΣΑΒΒΑΤΟΝ ΛΒ΄ ΕΒΔΟΜΑΔΟΣ

Προκείμενον. Ἦχος πλ. β΄

Εὐφράνθητε ἐπὶ Κύριον καὶ ἀγαλλιᾶσθε, δίκαιοι.

Στίχ. Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι.

Πρὸς Θεσσαλονικεῖς Α΄ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα :14-23

Ἀδελφοί, παρακαλοῦμεν ὑμᾶς, νουθετεῖτε τοὺς ἀτάκτους, παραμυθεῖσθε τοὺς ὀλιγοψύχους, ἀντέχεσθε τῶν ἀσθενῶν, μακροθυμεῖτε πρὸς πάντας. Ὁρᾶτε μή τις κακὸν ἀντὶ κακοῦ τινι ἀποδῷ· ἀλλὰ πάντοτε τὸ ἀγαθὸν διώκετε καὶ εἰς ἀλλήλους καὶ εἰς πάντας. Πάντοτε χαίρετε, ἀδιαλείπτως προσεύχεσθε, ἐν παντὶ εὐ- χαριστεῖτε· τοῦτο γὰρ θέλημα Θεοῦ ἐν Χριστῷ Ἰησοῦ εἰς ὑμᾶς. Τὸ Πνεῦμα μὴ σβέννυτε. Προφητείας μὴ ἐξουθενεῖτε. Πάντα δοκιμάζετε· τὸ καλὸν κατέχετε· ἀπὸ παντὸς εἴδους πονηροῦ ἀπέχεσθε. Αὐτὸς δὲ ὁ Θεὸς τῆς εἰρήνης ἁγιάσαι ὑμᾶς ὁλοτελεῖς· καὶ ὁλόκληρον ὑμῶν τὸ πνεῦμα καὶ ἡ ψυχὴ καὶ τὸ σῶμα ἀμέμπτως ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τηρηθείη.

Ἀλληλούϊα Ἦχος πλ. β΄

Μακάριοι ὃν ἐξελέξω καὶ προσελάβου, Κύριε.

Στίχ. Καὶ τὸ μνημόσυνόν αὐτῶν εἰς γενεὰν καὶ γενεάν.

Κοινωνικόν

Ἀγαλλιᾶσθε , δίκαιοι, ἐν Κυρίῳ· τοῖς εὐθέσι πρέπει αἴνεσις.


Ἦχος Πα
Κυ ρι ε ε λε η σον
Κυ ρι ε ε ε λε η σον
Κυ ρι ε ε ε λε η σον
Σοι Κυ ρι ε
Α μη η η η ην
Και τω πνευ μα τι ι ι ι ι σου
Σοι οι οι οι οι Κυ ρι ε
Ἕτερον.
Σοι Κυ ρι ε ε ε ε ε ε
Α α α μην

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς,
ἁγιασθήτω τὸ ὄνομά σου,
ἐλθέτω ἡ βασιλεία σου,
γενηθήτω τὸ θέλημά σου,
ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς.
Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον
δὸς ἡμῖν σήμερον,
καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν,
ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν,
καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν,
ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

## ΕΙΣ ΑΓΙΟΣ

Ἦχος Πα Ἐναρμόνιος




Ἦχος
Ει ει ει ει ει εις Α α α α
γι ι ι ος ει ει ει ει ει εις
Κυ υ υ υ υ ρι ι ι ος Ι η σους
Χρι ι στος εις δο ο ο ξαν Θε ου Πα τρος
Α α μην


Ἦχος Πα
Ἄ α α νες Ἀ α α φες Συγ
χω ω ρησον Ο Θε ε ε ος Τα Πα
ρα α πτω ω μα α τα Η μων Τα
Ε κου ου σι ι ι α τα α κου ου
ου σι ι ι α τα εν γνω ω ω σει και τα εν
α γνοι οι οι οι οι οι οι οι οι α τα α εν
νυ υ κτι και ε ε εν η η με ε ε ε
ρα τα κα τα νουν και δι α α νοι οι αν τα
πα αν τα η μιν συγ χω ω ω ρη σον ως
α γα θο ος και αι αι φι λα α α α
αν θρω ω ω πο ο ο ος

## Χριστέ το φῶς τό ἀληθινόν.

Ἦχος Πα




η μω ω ων προς ερ γα σι ι ι αν τω
ω ω ων ε εν το ο ο λω ω ω ων σου
πρε σβει ει αις της πα να χρα αν του ου ου
σου ου Μη η η προς και πα αν τω ων
σου ου των Α γι ω ω ων α μην

## ΤΩ ΣΑΒΒΑΤΩ
## ΚΑΙ ΕΙΣ ΕΟΡΤΗΝ ΑΓΙΩΝ

Ἦχος Νη




Ἦχος Πα
Ἀ γαλ λι α ϑε δι και οι εν Κυ υ ρι
ι ι ω τοις ευ ϑε ε σι πρε ε πει ει αι αι
αι αι νε ε ε ε σι ι ι ι ι ι ι ι ι ι ι
ις α α αλ λη η η λου ου ι ι ι
α
Ἐ ξο μο λο γει ϑε τω Κυ υ ρι ι ι
ω ε εν κι ι ϑα α α α ρα εν ψαλ τη
ρι ω δε κα χο ο ορ δω ψα α α λα α
α τε ε α α αυ τω ω ω ω ω ω ω ω
ω ω ω ω α α αλ λη η η λου ου


ι ι ι α
ἄ σα α α τε α α αυ τω α α α
σμα και αι αι νο ο ον κα λω ως ψαλ λα α
τε α α αυ τω ε ε εγ α α λα α α α
λα α α α αγ μω ω ω ω ω ω ω ω ω ω ω
α α αλ λη η η λου ου ι ι ι α
ἄ α γα α πα ε λε η μο συ νην
και κρι σιν ο Κυ ρι ι ο ος του ε λε
ε ου ους Κυ ρι ι ι ι ι ι ι ι Κυ
ρι ι ι ι ι ου πλη η η η η η ρης η η
η γη η η η η η η η η η η η η α α


αλ λη η η λου ου ι ι ι α


Ἦχος Νη
Με Α γαλ λι α α α α α α α α
α α α α α α α α α α α α α α α
α α α α α α α α α α α α α
με α γαλ λι α α α α α σθε ε ε ε ε
με ε ε ε ε δι ι ι ι ι ι ι ι ι ι
ι ι ι χι ι ι ι ι ι ι ι ι ι
ι ι ι ι ι ι δι ι ι ι ι ι
ι και αι αι οι οι εν Κυ ρι ι ι ι
ι ι ι ι ι ι ι χι ι ι ι ι ι ι ι
ι ι μι ι ι εν Κυ ρι ι ω ω ω ω


τοις ευ θε ε ε ε
ε ε ε ε ε ε ε ε τοις ευ θε ε
ε σι ι ι ι ι ι ι ι ι πρε ε ε ε ε ε
ε ε ε ε ε πει ει ει ει ει πρε πει
αι αι αι αι αι αι αι αι αι νε ε ε ε ε ε
ε ε χε ε ε ε ε ε ε ε ε ε ε
ε ε ε ε ε πρε πει αι αι νε ε σι
ι ι ι ι ι ι ι ις Αλ λη λου
ου ι ι ι α α α α α α α α
α

Εἴδομεν τὸ φῶς τό ἀληθινόν

Ἦχος Δι




Εἰς τό· Πάντοτε, νῦν καὶ ἀεί…




αι νε σε ως σου Κυ ρι ε ο πως υ μνη
σω μεν την δο ο ξαν σου ο τι η ξι ω
σας η μας των α γι ων σου με τα σχειν
μυ στη ρι ι ι ι ων τη ρη σον η μας
εν τω σω α γι α σμω ο λην την η
με ραν με λε ταν την δι και ο συ νην σου
Αλ λη λου ι α Αλ λη λου ι α Αλ λη
λου ου ι α α α

## Εἴη τό ὄνομα...

Ἦχος Δι

Α α μην Ει η το ο νο μα Κυ ρι
ου ευ λο γη με νον α πο του νυν και ε
ως του αι ω νος (Δίς)

Το ο νο μα Κυ ρι ου ει η ευ λο
γη με ε νον α πο του νυν και ε ως του
αι ω ω ω νο ο ος

## Τόν Εὐλογοῦντα...

Τον ευ λο γου ου ουν τα και α γι ι
α ζον τα η μας Κυ ρι ε φυ λατ τε
ει ει εις πολ λα ε ε τη η η


Ἦχος Βαρύς Ζω
Με Πα να γι ι α Δε
ε σποι να υ πο την σκε ε ε πην σου παν τες
οι δου ου λοι οι σου τρε ε χο μεν και πα ρα
α κα λου ου μεν σε ε ε οι οι α να α ξι οι
προ φθα σον και λυ τρω σε η μας α πο πα
σης πε ρι στα α σε ως και α πο θα α να τον τον
ε ξα α φνι κο ο ον και αι πα νο ο λε θρον
οι δα μεν ο ο τι δυ υ να σαι παν τα ο σα
αν θε ε ε λει εις και βου ου λε σαι Δε ε σποι
να α του κο ο ο σμου ελ πις και προ στα σι ι
α των πι στων Κε χα ρι τω με ε νη η ε



Π Ζ Π
πα α κου σον π τωνπα ρα α κα λου ουν των σε
Ζ Μ
ε ε ε ε ε ε ε ε ε

## Θεοτοκία εἰς ἦχον Βαρύν
## Μή καταπιστεύσεις με

Ἦχος Βαρύς Ζω



μυ θι ι ι αν ουκ εχω πλη ην σου Δε ε

σποι να του κο ο ο σμου ελ πις και προ στα

σι ι α των πι στων μη μου πα ρι ι δης

την δε ε η σι ι ιν το ο συμ φε ε ρον ποι η η

σον

# Μεταβολὴ τῶν θλιβομένων

Ἦχος Βαρύς Ζω



Ἡ Μεταφορὰ Κειμένων - Καλλιτεχνικὴ ἐπιμέλεια
ἔγινε μὲ τὸ πρόγραμμα «Μελωδός»
τοῦ κ. Σάββα Παπαδόπουλου
www.melodos.com
ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη
Ἱεροψάλτη στὸν Ι.Ν. Ἁγίου Γεωργίου Κουλούρας Βέροιας.